βοστρυχίοις οἰνάνθης ἢ λεύκης καρπῷ, καθάπερ εἴρηται πρότερον. Ἐκκρεμάννυνται δὲ περὶ τὴν θαλάμην τὰ ᾠὰ, ὅταν ἐκτέκῃ. Τὸ δὲ πλῆθος ἔχει τοσαῦτα ᾠὰ ὥστ' ἐξαιρεθέντων ἐμπίπλαται ἀγγεῖον πολλῷ μεῖζον τῆς κεφαλῆς, ἐν ᾗ ἔχει τὰ ᾠά. (2) Τὰ μὲν οὖν τῶν πολυπόδων μεθ' ἡμέρας μάλιστα πεντήκοντα γίνεται, ἑκάστων περιρραγέντων, πολυπόδια, καὶ ἐξέρπει, ὥσπερ τὰ φαλάγγια, πολλὰ τὸ πλῆθος· ὧν ἡ μὲν καθ' ἕκαστα φύσις τῶν μελῶν οὔπω διάδηλος, ἡ δ' ὅλη μορφὴ φανερά· διὰ δὲ τὴν μικρότητα καὶ τὴν ἀσθένειαν φθείρεται τὸ πλῆθος αὐτῶν. Ἤδη δ' ὦπται καὶ οὕτω πάμπαν μικρὰ ὥστ' ἀδιάρθρωτα μὲν εἶναι, ἁπτομένων δὲ κινεῖσθαι. (3) Ἃ δ' αἱ σηπίαι ἀποτίκτουσι, *καὶ* γίνεται ὅμοια μύρτοις μεγάλοις καὶ μέλασιν· καὶ ἀλλήλων ἐχόμενά ἐστιν, οἷον βότρυς τὸ πᾶν, περιπεπλεγμένα ἑνί τινι, καὶ οὐκ εὐαπόσπαστα ἀλλήλων· ἐπαφίησι γὰρ ὁ ἄρρην ὑγρότητά τινα μυξώδη, ὅθεν γλισχρότητι περιπέττεται. Καὶ αὐξάνεται δὲ ταύτῃ τὰ ᾠὰ, καὶ εὐθὺς μέν ἐστι λευκά· ὅταν δ' ἀφῇ τὸν θολὸν, καὶ μείζω καὶ μέλανα. Ὅταν δὲ σηπίδιον γένηται, ὅλον ἐκ τοῦ λευκοῦ γενόμενον ἔσω, τούτου περιρραγέντος, ἐξέρχεται. (4) Γίνεται δ' [ὃ] ἂν τὸ πρῶτον ἀπορράνῃ ἡ θήλεια, οἱονεὶ χάλαζα· ἐκ γὰρ τούτου τὸ σηπίδιον φύεται ἐπὶ κεφαλὴν, ὥσπερ οἱ ὄρνιθες κατὰ τὴν κοιλίαν προσηρτημένον. Ποία δέ τίς ἐστιν ἡ πρόσφυσις ἡ ὀμφαλώδης, οὔπω ὦπται, πλὴν ὅτι αὐξανομένου τοῦ σηπιδίου, ἀεὶ ἔλαττον γίνεται τὸ λευκὸν, καὶ τέλος, ὥσπερ τὸ ὠχρὸν τοῖς ὄρνισι, τούτοις τὸ λευκὸν

1. Ἢ λεύκης] καὶ λ. Bk. — 7. Ἑκάστων περιρραγέντων] ἐκ τῶν απορραγέντων Bk. — 12. Ἃ δ' αἱ σηπίαι] αἱ δὲ σηπ. Bk. — 16. Ὅθεν γλισχρότητι περιπέττεται] ὃ τὴν γλισχρότητα παρέχει Bk. — 20. Οἱονεὶ] οἷον Bk. — 22. Προσηρτημένοι Bk.